LEONIS ALLATII ERIDANVS,

Ad Eminentiſſimum, & Reuerendiſſimum Principem

ANTONIVM BARBERINVM S. R. E. CARD.

Interprete

BARTHOLOMAEO TORTOLETTO.

BIBLIOTECA NAZIONALE VITTORIO EMANUELE III
NAPOLI



ROMAE,
Apud Hæredes Maſcardi. M. DC. XXXV.

SVPERIORVM PERMISSV.

Eminentiſſimo Principi

ANTONIO BARBERINO

S. R. E. CARD.

Ac Legato Auenionenſi, Vrbani VIII. Fratris F.

Leo Allatius F.

ERIDANVM, poſt ingentia illa Legationis Tuæ officia, quibus, nõ dico Italiam, ſed Europam facilè vniuerſam Tibi deuinxeras, laudum Tuarum ſpectatorem, Tuaq; in eo nauigatione, è terra inter ſidera tantæ virtutis teſtem relatum, Muſa humilis equidem illa, ſed

qua ob materiam nulla alia excelſior vnquam fuit, aut erit, ante biennium expreſſerat. Eius Tua ſemper aurea humanitas non dedignata tenuitatem, conatum hunc benigno vultu exceptum, illuſtriorem ſanè, atq; plauſibiliorem apud omnes ingenio, ac prudentia præditos, effeciſti. Annon ego itaque improbus, & malè referens Principi optimè merenti gratiam, ſi in admiratorum Tuorum vota non ſuccederem? Valeas Tu interim diù, multùmque, in quo ſumma omnium, & Reipublicæ literariæ potiſſimùm deſideria, tamquam tuto in loco collocantur.

BAR·

BARTHOLOMAEVS TORTOLETTVS.

LECTORI S. D.

INglorius labor; at amicitiæ debitus à me ſuſceptus eſt. in vertendis enim alieni ingenij, alieni idiomatis monumentis, nihil propriũ, niſi dictio, nihil decorũ, niſi vt plurimùm fides. Cæterùm excors buccina Interpres eſt, quæ alieno ſpiritu ſonum edit. Niſi vſui fortaſſe ſit rationem addiſcere, qua ad alienorum huiuſmodi ideam propria efformentur. In Eridano tamen Leonis Allatij V. C. à Græcis ad Latinas Muſas traducendo nihil præterea cogitaui, quàm Auctorem, cui pluribus titulis obſtrictus ſum. Satis mihi rẽ gratam huic feciſſe, qua cum laude omnes, qui ſperari alioqui è ſcriptione poſſint fructus, minimè confero. Adde Bernardini Biſciæ ampliſſimi adoleſcentis, acri, & viuido ingenio, beneficentiaq; in omnes ſupra quam explicari poſſit, ſingulari, meritum, & dignitatem, cui ſatis me valde facturum intelligebam, ſi in illud conuenirem, quod ipſe maximè concupiſſe videbatur. Et quidem cum meæ vires eximij Principis ANTONII *Card. Barberini longè infra virtutem, & gloriam ſint, quem meo Apolline celebrare (quamquam cupiditas laceſſat animum) neque audeo, neque valeo, vehementer lætatus ſum, cùm mihi hæc obuia occaſio fuit, aliena induſtria votum meum aſſequendi. Tu, Lector optime, qui verſionum huiuſmodi difficultatem non ignoras, laborem hunc meum ea voluntate ſuſcipias velim, vt quicquid in ipſo deliqui, tuæ clementiæ, non indignationi, aut deriſui materia ſit. Vale, Nonis Auguſtis* CIϽ IϽC XXXIII.

ΛΕΟΝΤΟΣ ΤΟΥ ΑΛΛΑΤΙΟΥ ΗΡΙΔΑΝΟΣ.

Οὖλέ τε, καὶ μέγα χαῖρε. Θεός νύ τοι ὄλβια δοίη,
Σοὶ τόδ' ἄπαι κραδίης δέξατο Ἰταλίη.
Οὖλέ τε, καὶ μέγα χαῖρε. μακρόπνοον ἦμαρ ἐλαύνοις,
Πάμπαν ὑπερθύμου εὐγενὲς εἶγμα Πάξω.
Τῷ φρένιν ἀμφήριστος, ὅσον πέλες ἄνδρεσι χρῆμα.
Τεῦχθεν ἴσον Πάξῳ χρῆμ' ἄρ' ἔπαθα μέγα.
Βουλαῖς, χερσί τ' ἄριστος ὅλης πρυμνήσια γαίης
Νωμῶν, ἐντυπέος ἡμερίοισι δίκας,
Ἠδὲ μονοσκήπτροισιν ἐπὶ κλισμοῖσι καθίσσας,
Κλῇθρα χαλᾷ, κλεῖς τ' οὐρανίου τεμένους,
Κεῖνος θέσφατ' ἔλεξε, Θεοῦ ἄπο μῆτιν ὑφήνας.
Ἄμμες δ' αὖτε βροτοὶ ὡς Θεὸν ἀζόμεθα
Δὴν ἡμέων ἀπάνευθε, πόλος χθονὸς ὅσσον ὁδεύθη
Μακρὰν, κ' αὐτολίνης νόσφιν ἄπεστι δύσις.
Ἀλλὰ σύ νιν μέγ' ὄνειαρ ἀπόπροθεν ἄμμι ποθεινὸν
Κεῖνον ἄγεις, φιλίοις τ' οὐκ ἀέκοντα δίδως.
Οὖλέ τε, καὶ μέγα χαῖρε. καλὴν ὄπιν ἤγαγε Δαίμων

LEONIS ALLATII ERIDANVS.

Interprete

BARTHOLOMAEO TORTOLETTO.

LAetare, atque vale; tibi proſpera fundat Olympus.
Italia hoc imo corde precata tibi eſt.
Lætare, atque vale, neque ſit tibi terminus æui,
Magnanimi Patrui nobilis effigies;
Cui cōpar mente, ò quantus mortalibus inſtas;
Eſſe olli ſimilem, quàm tibi magnus honos.
Ille gubernaclo ſedet orbis; diuidit æquè
Iuſtitiam, ſceptris, conſilioq; potens;
Aurato & nixus ſolio Pater vnicus omnium
Quà claudit ſuperas, quà reſeratq; fores.
Ipſe aperit nobis oracula Numinis alta;
Inde, Deum veluti, tota veretur humus;
Sepoſitū à nobis tantùm, quãtùm æthere tellus,
Eſt oriens quantùm ſole cadente procul.
Tu verò optatum flectis, pariterq; volentem,
Atque in amicorum munera pulchra vocas.
Lætare, atque vale. noſtræ dementia culpæ

Φωσὶν ἀλιτραίνουσ' ἀφραδίῃσι νόου.
Μήνισεν ἐκπάγλως, εἰ καὶ μάλα μείλιχος ἦεν.
Οὐδ' ἀρχαῖς ἔτρεφον μῆνιν ἔσεισεν ἄπο.
Φλοξὶ δὲ, καὶ λαίλαπι πανείκελος, ἶσα κεραυνοῖς
Δηΐοις ἀμπνείων, κῆρα βροτοῖσι φέρει.
Ενθεν ἔπειτ' ὀλοῆς κεκαφηότα γουνάτα νούσοις
Ιμάσσοντ' ἀτμῷ, καὶ πυρὶ θυμοβόρῳ.
Οὐ χρόνιοι κέκλιντο, μινυνθαδίαις δ' ὑπὸ ῥιπαῖς
Δμηθέντες, θανάτου αἶψα νέοντο τάφον.
Τίς ποτε, τίς γ' ἀλέαιτο βροτὸς κακότητος ἀέλλην;
Οὐκ ἔστ' ᾧτῳ Αναξ δῶκε κακόν φυγέειν.
Πρῶτοι Ιητῆρες, ὅσοις μέλεν οἶτον ἀλάλκειν,
Ψυχῶν, χ' ἱεράων μνήμονες, αἶψα θάνον.
Ιὸς φῶτα δάμαζε, τὸν ἔχεθεν. ἔνθεν ὀρούσας,
Καὶ πυρὸς ὀξύτερος γειτονέοντα βάλεν,
Ηέρι, φάρεσι, παντὶ συνέμπορος. οὐδέ ποτ' αὐτὸν
Κεῖνο φύγοι, τὸ θίγει. λοίγιον ἦκε τόσον.
Ηπίαλοι κεφαλῆς βαρυαχθέες. εἶθαρ ἐπ' ὄσσοις
Πῦρ, οἴδημα, νέφος. οὔασι βόμβος ἔνι.
Γλῶσσα, φάρυγξ τ' ἐλύθροντο. μόγις δὲ παλίρροον ἆσθμα
Κίδνατο. τοῦ δ' ὀδμὴ δεινὸν ὄδωδε μυχούς.
Αἰθόμενος δ' ἔνδον πολυθαλπέϊ τήκετο δίψῃ,
Φλυκταίναις στικτὸς, τύμμασί τ' οὐλομένοις.
Ενδὲ δυσπαθίῃ θυμήρεα πότμον ἔπεσσον.
Δυστήνοις δὲ ταχὺς ῥᾶστος ἐπῆλθ' αΐδης.
Αλλ' οὐ μὴν κόρος ἔσχε λυγρὴν, καὶ ἀτάσθαλον αἶσαν,
Οὐδὲ κατεκλάσθη πήμασιν Ιταλίης.
Ανθ' ὄλβον παρέθηκε, καὶ ἄσπετον ὦρσε κυδοιμὸν,
Καὶ στάσεσι χθονίων ὄχλον ἄμερσε πάτρας.

Δή

Vltorem miſeris quàm dedit eſſe Deum.
Ille, licèt facilis, flammanti percitus ira,
Surda etiam inſontes reſpuit aure preces.
Atque igni ſimilis, tempeſtatiq; profudit
Fulmina, quæ hoſtili iure tulere necem.
Quaſſari hinc genua inceptum, morboq: labare,
Ipſas vel mentes flamma vorabat edax.
Nec tempus dabat atra lues, ſubitò ariete pulſi
In tumuli tetrum decubuere ſinum.
Quis tàm crudeli vitaret fronte procellam?
Nulli permiſit talia poſſe Deus.
Ecce illi ante alios, animis queis cura medendi,
Corporibusq; dati victima prima ſolo.
Hunc virus fundebat humi; mox impete facto
Vicini in fibras ocyus igne ruit.
Aëra corripuit, tunicasq; attacta ſupellex
Nulla fugit cladem; ſic fera peſtis erat.
Pondus iners febris capiti; dant lumina flãmas;
Hìc tumor, hìc nebulæ; bombus in aure fuit.
Guttur anhelantis, tùm lingua cruore rubebãt;
Ibat ab infando ſpiritus ore grauis.
Combuſtæ interiùs venæ; ſitis ignea labris;
Vlceribus lethum puſtula tetra dabat.
Fata tamen tanto in luctu dilecta ſubibant:
Quæ cita mors, miſeris eſt ea grata viris.
At nondum ſatiata feræ vis aſpera ſortis,
Nec ſat ſons pœnas Auſonis ora luit.
Ecce acuit populos in bellum, & miſit in arma;
Eripuit patriam ciuibus ecce furor.

Δὴ γὰρ Ἄρης τε, Κλόνος τε, Φόβος, καὶ θοῦρις Ἐνυὼ
Θρᾳκῶν ἐξ ὀρέων Ἰταλίην ἐπέβαν.
Ἔνθεν νιφὰς πολέμοιο, κλύδων δορὸς, ἄρεος ἔργα,
Ἀλλήλων τε φόνοι, ἄστεά τ' ὀλλύμενα.
Δῆριν ἐπ' ἀντιβίων στίχα τρέψατε. τοῦ χάριν ὔμμι
Βουλεύεσθε φόνου παρποδίου νεφέλην;
Σχέτλιοι. οὐ γὰρ ἔοικε. τὸν ἄφρονι χειρὶ πιέζεις,
Τὸν πέφνεις, σαυτοῦ γείτονός ἐστι κάσις.
Φείδεο σῶν μελέων. τό δ' ἐρεύθεται αἵματι γαῖα,
Οὐχ ὁρᾷς; σπλάγχνων σῶν ἄπο εὐρὺ ῥέει.
Τοῦ σὺ καλῶς τὸ πάροιθεν ἐνείκεες ἔργον ἀεικὲς
Μηδείης, Πρόκνης, Τυδέος, Ἱππομέδους,
Αὐτονόης, Δίρκης, ὅ, τ' ἰδὼν ἠλεύατο Φοῖβος,
Ἀτρέος, Ἀρπάγου τ' οὐκέτ' ἀνεκτὰ χρέη,
Αὐτὸς ἐὼν πάντων ὀλοώτερος. οὔ σε λέαινα
Θήλασεν, οὔ σε πέτραι, οὐδὲ θάλασσα τέκεν.
Καὶ φρένες εἰσ' ἀδάμαντος, ἀμείλιχον ἦτορ ἐτύχθη,
Χαλκέλατον στῆθος, λύσσα κυνῶσα φόνον.
Οὐδ' ὑπάλυξις ἔγεντο βροτοῖσιν. ἀρείονος ἀλκῆς
Τοὔργον, καὶ χρήζει θειοτέροιο νόου. (μοις.
ΟΥΡΒΑΝΩι τόδ' ἔκλωσο, καὶ ΟΥΡΒΑΝΟΙΟ συνάμ-
Πήματος ΟΥΡΒΑΝΟΣ ῥοῖβδον ἀποσκεδάσει.
Οὐ κατέτεινε μακρὰν, δὴ γὰρ ῥὰ φιλαίσιμός ἐστιν,
Ἄτλω, ἀργαλέης δ' εὗρε νόσοιο λύσιν.
Ἔννεπε δ', ἐκκαλέσας ΑΝΤΩΝΙΟΝ, ἔμφρονι μύθῳ.
Αὐτοκασιγνήτου προσφιλὲς ἄμμι τέκος.
Τέκνον, ἐμοὶ πολύθεστε, γεγαὼς μερόπεσσιν ἀρωγὴ,
Ἀμπαυσις καμάτων, τειρομένοισι σέλας.
Βάσκ' ἴθ', ὅπῃ πολέμου χειμὼν μέγας αἶψ' ὀρίνει.

Quippe Timor, Mars, & flagro Bellona triſulco
Italiam è rigidis appetiere plagis.
Martia tẽpeſtas hinc belli, & nimbus in haſtis;
Alternæ cædes, oppida ſtrata ſolo.
Quò ruitis miſeri? Conuertite robur in hoſtes;
Cur auidè inſertis mutua fata ſimul?
Scilicèt haud operępretiũ eſt: quẽ ſtultus arenã
Extendis, frater, ſi ſapis, ille tibi eſt.
A membris abſiſte tuis; quo polluis agros,
Viſceribus ſanguis, diffluit ille tuis.
Quid tu damnabas antehàc crudeliter acta,
Medeæ, Prognes, Tydei, & Hippomenis?
Autonoes, Dirces, & (quod ſol horruit) Atrei,
Arpiagæq; (hominum quam fera facta nimis)
Cum grauius ſis ipſe nefas? non ſaxa, nec vndæ
Te tulerunt, mammas nec Lea ſæua dedit.
Mens tamen eſt adamas, cor implacabile, pectus
Aeris opus; rabies eſt tibi cædis amans.
Nec patet effugium mortalibus; indiget altæ
Id magè Virtutis, conſilijq; malum.
VRBANO rem fata dabant, affinibus olli
Inſuper VRBANI eſt perdere Martis opus.
Nec mora, nã pronus populis afferre leuamen
Tollendi reperit prælia tanta modum.
Atque ait accito molli ſermone Nepoti.
Germani ò germen nobile, noſter amor.
Fili optate mihi, columen mortalibus ortum,
Lux fauſta afflictis, deq; labore quies.
Vade age, quà belli terras vis atra fatigat,

Ἔνθ' ἄρης καὶ ἄρεος ἄλγιον ἀντιάει.
Η λοιμῷ τε, μόγοις τε μένος μερόπων βλεμεαίνει,
Πάμπαν ἐπισβέσαι ἐγρεκύδοιμος ὕβρεις.
Βᾶθι, φάνηθι. Θεοῦ τάδε νεύματα. βᾶθι προσηνὴς
Ἄγγελος ἀνθρώποις ἄρμενα σημανέων.
Στεῖχε λόγων ταμίας, τοὺς σοι πάρα θήκατο κραίντωρ.
Σοί τόδ' ἐγὼ κέλομαι. αὐτὰρ ἐμοὶ Μεδέων.
Θέλξον δυσμενέων ζαμενεῖς φρένας. ἔχθος ἀνάκτων
Τρέψον ἐς εὐνομίην. πᾶσι ποθητὰ φέρε.
Εἴκαθεν ἀγγελίαις ΑΝΤΩΝΙΟΣ. οὐδ' ἔτι δηρὸν
Ἀμβάλλων, ἐλαφροῖς ποσσὶν ἔλαυνε πάτον.
Ὡς δ' ὅτ' ἀεθλοφόρος σταδίου περὶ τέρμασιν ἵππος
Τῆλε βιβὰς, χρεμέθων τ' ἂν δρόμον ἐγκονέει.
Νύσσων δὲ τροχαλοῖς χηλαῖσιν ἐπέκτυπεν αἶαν,
Οὐδὲ φέρει δεσμοὺς, τοὶ σχέθον ἐσσύμενον.
Εἰδέ ποτ' ἐκ δεσμοῖο λυθεὶς πεδίοισι πέτηται,
Οὔμιν ὁρᾷς, πνοιαῖς ἶσα βεβῶτ' ἀνέμων.
Η γὰρ νύσσαν ἔχοντα, ἢ ἐν βαλβῖδι διαύλου
Ἀθρήσεις, μέσσοις δ' ἔτι θέοντα δρόμοις.
Τὼς σὺ μὲν ἀγγελίαις Πατρὸς ποτιδέγμενος ἄψα,
Ἔνθα τέτακτο μολεῖν, ἵκεο. θαῦμα μέγα.
Ἀσκηθὴς ἀφίκανες, ὑπ' ἐκ θανάτοιο σαώσας,
Τοῖσι παρὼν ἐφάνης, ἄνδρας ἀμαυροβίους.
Πήμασί τ' ἐκ ἀέκων ἐπ' ἀνηροῖσι κιχήσας,
Πάντας ἀπημάντους ἄψ σόους οἴκαδ' ἄγεις.
Μῆνιν τ' ἄρης, ἔρδας συμφανεὶς ἀπό τ' ἤλασας οἷος,
Πᾶσιν ἐπιστρέψας ἡσυχίην βιότου.
Πλοῦτον ἔδωκας ἔχειν, καὶ ἄνθεα γείναο Μουσῶν
Ἄμμι μελιγλώσσων, ὁπλοτέροις δὲ χάριν.

Πόρ-

Quà.Mars in Martem fulmina toruus agit,
Quà genus humanũ peſte, atq; laboribus optat
Perdere; & infenſus noxia tela ciet.
Vade age,te oſtẽde implacidis;hic nutus Olym-
Nuntius i dulcis,dulcia voce ferens. (pi eſt,
I puer,& mea,quæ Domini ſunt,accipe verba,
Sollicito (id iubeo) ſit mora nulla pedi.
Flecte hoſtes furijs actos, odia aſpera Regum
Verte in fas, votis omnibus æqua refer.
Paruit ANTONI probitas, ſubitoq; receſſu
Soluit in optatam mollia crura viam.
Victor equus de more velut certamine coram
Hinnit, & ad ſtadij ſpumeus ora volat.
Verberibus pulſũ crebris quatit vngula cãpum,
Vincula nec patitur, quæ poſuere moras.
Aſt vbi curriculi data copia, flatibus Euri
Terga fugæ haud illum videris æqua dare;
Nãq; in principio aut cernes, aut tãgere metã;
Hos inter medius lumina fallit ager.
Haud ſecus excipiẽs magni præcepta Parentis,
Iam tu carpis iter, iam loca mæſta ſubis.
Mira ferã; tum ſaluus ades,tum fronte ſalutem
Fers, quorum dubijs vita natabat aquis.
Nec noxæ tenuere pedem; remeare valentes.
Præcipis innumeros in ſua tecta valens,
Vt radius micat ecce tuus, Diſcordia,Mauors,
Ira fugit, populis reddita tuta quies.
Das,habeant vt opes patrias,mollemq; iuuentã
Annuis Aonidum carpere poſſe roſas.

Scuta

Πόρπακ' ἐπ' ἰσὸν ὕφηνεν ἀράχνια. ἔγχεα δ' εὐρὼς
  Δάμναται. οὐδ' ἀΐω χαλκοβόαν ὅμαδον.
Νήδυμος ὕπνος ἔχει με ἐπὶ βλεφάροισιν ἐφίζων.
  Καὶ βρίθουσι δόμοι ἡδέσι συμποσίοις.
Οὔτις σοί γ' ἀπόφησεν ἐναντίον. ἀλλ' ἅμα πάντες,
  Εἶκον πειθέντες σῇσιν ἐφημοσύναις.
Φοῖβος ἐπαντέλλων κέδασε κνέφας, ᾧ περὶ κόσμος
  Τήκετο, νοσφισθεὶς ἀγλαΐης προτέρης.
Ερμῆς σωκὸς ἔηθ' ἐριούνιος, υἱὲ Λήδης,
  Ηρακλέης τε βροτοῖς ἄμμιν ἀλεξίκακος..
Τεῖχος, πύργος ἄσειστος, ἀλεξητήριον ἄτης,
  Ηδὲ Σαωτήρων λοισθιόπρωτος ἕδρα.
Οὖλέ τε, καὶ μέγα χαῖρε. Θεὸς νύ τοι ὄλβια δοίη
  Ολβι' ἐν ὀλβίστοις Ιταλίης πρόμαχε.
Ηδη τέρμα μύθων, καιρός σε παλίντροπον αὖθις,
  Εκτελέσαντα πόνον πρὸς δόμον ἴχνος ἄγειν,
Α'λλ' οὐ μὴν ἀγέραστον. ἐπεὶ ἀντάξια μόχθων
  Σοὶ τάδ' ἐπεντυνέει οὐρανὸς, αἶα, ῥόος.
Τίς δ' αὖ κεῖνα φράσαιτο λόγος. ῥεχθέατ' ὑπὲρ αἶσαν
  Μύθων ἐστὶ χρέος πουλύ τι θειοτέρων.
Μοῦσα σὺ ταῦτα μέλιζε. σὺ γὰρ καὶ σύνδρομος Ηρῳ
  Εσπομένη ζαθέων εἶδες ἄποιν' ἀέθλων.
Ηδη μὲν προσίκανεν, ὅπῃ περιμήκεες Αλπεις
  Αμβαίνουσι πόλον πρώσσιν ὑψιλόφοις.
Καὶ χθόνα πιαλέην, βαθυχεύμονος ὕδατος ὁλκοῖς
  Βρεθομένην πλαγίως ἄγκας ἔχουσι φίλαι
Φαίης κεν τειχέεσιν ἐϋστεφάνοισιν ἀρέρας
  Ιπποκρότους θεάτροις ἤυτε κληζομένας.
Εξείης δ' ἑκάτερθ' ἐπὶ πετρήεσσι κορύμβοις

Γνάμ-

Scuta ſuper telas prætexit araneus; enſes
Eſt caries; ſonitus nec ruit ære ferox.
Me dulcis tenet inde ſopor,fouet inde pupillas;
Exundant epulis, lætitiaq; domus.
Aduerſum te nemo tulit contraria vota,
Conſilijs omnes ſuccubuere tuis.
Sol oriens pellis tenebras, queis tabuit orbis,
Nudatus ſpecie, muneribusq; ſuis.
Vtile Mercurij es ſydus, Ledæaq; proles,
Alcidæq; hominum dextera fauſta malis.
Tu murus, turrisq; potens, medicinaq; morbi,
Spesq; prior ſalui, poſteriorq; ſoli.
Lætare,atq; vale; tibi proſpera fũdat Olympus,
Tutorum Italidis gloria ſumma plagæ.
Iam labor ad metã eſt; poſtquã cõpleueris,altæ
Te decet in Patriæ Templa referre pedem.
Non indonatus venies; pro munere namque
Gloria, ſic ſtatuunt ſydera, pontus,humus.
Porrò quæ vox ſufficiat præſtantibus orſis?
Illa quidem dios debet habere modos.
Muſa,cane, Heroëm quandò comes ipſa ſecuta
Actæ vidiſti præmia magna rei.
Ille quidem acceſſit, curuis ambagibus Alpes
Quà caput ad Cæli limina celſa ferunt.
Ac terram varijs, latèq; fluentibus vndis
Haud parili immitem conditione rigant.
Oppida quadrupedũ dicas pede pulſa ſonantũ
Clauſa theatrali mœnibus eſſe modo.
Ordine ſulcantur ſuper alta cacumina longo
Arte

Γνάμπτονται δολιχαῖς ἄντα κάταντα τρίβοις
Μέσφα πέδῳ προσέκυρσαν ἀπείριτον. ἀμφὶ δ' ἀλωὰς
Εὔβοτος εὐεργὴς καρπὸν ἄρουρα φέρει.
Βάθρεις ἧχι πέπηγε πόλις χθαμαλαῖσι παρ' ὄχθαις
Ηριδανοῖο, δίκαις ἔμπεδα ναιομένη.
Ταυρασία πολύφημος, ἀριστογόνων ἕδος ἀνδρῶν,
Εἰ καὶ πρόσθε μάχαις κάμμορος Αννίβεω.
Σοὶ τόδε τέρμα μόγων ΑΝΤΩΝΙΕ. μὴ σὺ Θεάνε
Νύσσαν, μὴ στήλας εἴρεε Ηρακλέους,
Στήλας τηϋσίας ὀλοῶν ἀπατήματα μύθων.
Στήλας αὐτὸς ἔθου στερροτέρας λιθάκων,
Στιλπνοτέρας ἀδάμαντος, ἐν ἀρρήκτοισι θεμέθλοις
Εστήξας, κραδίαις ἀσπασίαις μερόπων.
Τῶν δ' αὖτ', οὐ γὰρ ἔνεσι πελώρια ἔργ' ἀποτίσαι,
Μνήστεσ' ἀκηράτοις σοὶ φορέουσι χάριν.
Νοσσομένου δ' οἴκονδε λιλαίετο γαῖα, καὶ αἰθὴρ
Αὖθις ἀφισταμένῳ νῶτον ὑποστορέσαι.
Ελδωρ δ' ἦεν ἔφυσε, κακὸν μέγα δ' ἦεν ἀρούρῃ
Ηπείλει. ἀνθρώπων λοιγὸς ἔλαυνε νόσος.
Φοῖβος δ' ἦεν ἔπαυσε. τίνι φρένα μοὶ ὦς ὀρίνει;
Η οὐχ ἅλις ἄμμε πάρος ξυνὸς ἔθλιψε φόνος;
Σχέτλιοι ἀκράαντον ἐρίζετε. μόρσιμον οὕτω
Πάρφυκτον. Μοιράων εἴγ' ἐπέκλωσε λίνα.
Ηριδανῷ τόδ' ἔδωκαν, ὅπως βασιλεύτερος ἄλλων
Εξοπίσω ῥεύσει χεύμασιν ἀργυρέοις.
Δῶρον, ὅταν Φαέθοντα Διὸς κατεπρήσε κεραυνὸς
Παῖδα φίλον, γναμφθεὶς ἄλγεσιν ὑμετέροις.
Κεῖνος γάρ ῥ' ἐγέραιρε σόον, καὶ δέκτο πεσόντα,
Οὐδ' ἄδακρυς κόλποις θῆκε θανόντι τάφον.

Η, καὶ

Arte laboratis ante, retroq; vijs;
Dum latum in campũ veniãt, vbi pinguis aratro
Spiciferam Cererem ſciſſa refundit humus.
Eſt ibi ad Eridani ripas, quà labitur infans,
Firma Vrbs aggeribus, iuſtitiaq; magis,
Taurinum, genitrix clarorum Auguſta Virorũ,
Paſſa licet quondam Punica tela fuit.
Hìc labor, ANTONI, ceſſat tuus. haud tibi Bacchi
Aras, haud metas Herculis eſſe velis:
Stultorum metas, & anilia carmina; metas
Firmiùs, ac ſaxo, Tu tibi, magne, locas,
Inferior quibus eſt adamas; in cordibus altè
Firmantur memores, ingenioq; virum;
Qui grates tibi agent rerum pro pondere tanto
Manſuras, poſſunt haud quibus æqua dari.
Tendere te in reditu petierunt Terra, Polusq;
Rurſus iter, famulos quo tibi rurſus agant.
Ex deſiderio bellum; nouus imminet ignis
Telluri; pallens æthera peſtis habet.
Corripuit Phœbus. Quæ mentẽ inſania vexat?
Num ſat communes haud domuere rogi?
Quæ lis eſt, miſeri, de re, quam fata vetarunt?
Nemo fugit, Parcæ quod ſtatuere colo.
Eridano hoc vni dederunt, argentea portet
Regificus poſthàc vt ſua dona ſalo;
Noſtræ ſolamen prolis, quam fulmen aduſſit;
Ingemuit noſtro ſcilicèt ille malo.
Excepitq; ſinu reuolutam, & honore ſepulchri
Ornauit mæſtis officioſus aquis.

Sic

Ἦ, καὶ Ἐννοσίγαιος ἄγεν μεγακήτεα νῆα,
Τριγλώχινι σθένων ἀντιβίους ἀνέμους.
Καὶ γὰρ ποιμὴν ἦστο φέρων οἰήϊα νηός,
Ἠδ' ὡς ἵππος ἑῷ πείθετο ἡνιόχῳ.
Περίπλοος, τεμένεσσι παρείκελος, οὔρεσιν ἴση,
Εἰσορόωσι σέβας, θάμβος ἔτ' ἐσσομένοις
Ἦν ἐβένῳ τ', ἐλέφαντι τετυγμένη. ἐν δ' ἄρα τέκτων
Δοῦρα τάμεν βήσσαις ἀβροβίων Ἀράβων.
Τῷ ῥα θύοις προχυθεῖσα δι' ἠέρος ἄμβροτος ὀδμὴ
Σμύρνης, καὶ καλάμου νέκταρ ὄδωδε φίλον.
Οὐ τόσον Ἀρτέμιδος κηώδεος ἔνδοθι νηοῦ,
Θηητὸν ἀενάων ἔργον Ἀμαζονίδων,
Οὐ τόσον Ἀπόλλωνος ἐν ἀμφιρύτοισι διαύλοις
Δήλου, ἐϋγλαφυροῦ ἔνδιον Ἀσυρίου.
Μὴ λέγε μοι τ' Ἄμμωνος. ὃν εἵσατο κοίρανος αἰάων
Αἰγιόχῳ Ῥώμη, Παλλάδι Κεκροπίδαι
Οὐδενόσωρον ἄθυρμα πέλεν, καὶ νήματ' ἀράχνης.
Νῆυς δέ γ' ἀγαυοτέρη, ἢ γὰρ ἔοικεν, ἔλω.
Ἔνθ' ὑάκινθος, ἴασπις, ὀπάλλιον, ἔνθα τοπάζου
Αἴγλη, σαπφείρου τ', ἔνθ' ἀπέλαμπ' ἀδάμας.
Δοῦρα δὲ χρυσείοισι πεπαρμένα γήθεεν ἥλοις,
Πάντοσε σπειραίοις νήμασι κλωθομένη.
Τίς ταῦτ' ἐξεπόνησε; τίς ἔγραφε γράμματα κεῖνα;
Ζεῦ πάτερ, ὦ τέχνης, ὦ φρενός, ὦ χάριτος.
Μὴ κίνει βιόωντ', ἀπὸ δ' ἴσχεο χεῖρας. ἐς αἴθραν
Αὖθις ἐπαΐξει. ὑνὶ πέφυγεν ἔποψ.
Λαῖφη, σπεῖρα, χαλινά, γύαια, κάλω, λίνα πάντα
Κῶος ἔτευξε γυνὴ δαίδαλ' ἐπισταμένη.
Ἅρμα σὺ τόσσον ἔβης νικηφορίαισι μεμηλώς

Κη-

Sic ait. At quatiens Neptunus littora puppim.
 Impulit, ac tumidos iuſſit abire notos.
Ipſe dabat magnæ rector nam lora carinæ;
 Firma velut docilem dextera flectit equum.
Virgo erat hęc(noſtro verērāda,& mira futuris
 Seclis) par Templo,& montibus æqua ratis.
Ex ebeno radiabat ebur; regione Sabæa
 Tranſtra tulit molli delicioſa faber:
Propterea myrrhæ,& calami ſpirabat odorem
 Aluus,& ambroſium nectar olebat ebur.
Dianæ haud tanto ſudarunt vnguine Templi
 Atria, Amazonidum nobile gentis opus;
Haud tantùm efflarunt circundata Delia ponto
 Fana, nec Aſſyrio Numine culta domus.
Ne refer Ammonis, ne quod Regina locauit
 Roma Ioui, Natæ Cecropidæq; Iouis.
Qualis araneoli labor, hæc delubra fuere;
 Nauis (ſic decuit) clarior iſta fuit.
Sapphiro; & fulua flagrabat iaſpide circum,
 Lux adamantis erat, luxq; hyacinthe tua.
Gaudebant aureis tabulata hærentia clauis,
 Palladiæ obducunt vndiq; texta manus,
Tantum quis potuit? quis talia,Iuppiter,orſus?
 O artem, ò aciem iudicij, ò Venerem!
Quiſquis ades, ne tange manu,pictura volabit;
 Viua eſt; in Cælum iamq; refugit epops.
Vela adeò,funes, fræna,armamenta,rudentes
 Explicuit docta fœmina Coa manu.
Currū,Heros,tantū tenuiſti,& in agmine victor
Qua-

Κηρυχθεὶς, Δαναοῖς ὥστις ἀεθλοφόρος.
Ἐν κλισμῷ δ' ἐκάθισας, ἔχων μετὰ χεῖρας ἀνάκτων
Σκῆπτρον, τὸ πόντῳ, καὶ χθονὶ θεσμὰ δίδως.
Νεῦσας, καὶ ταχύγουνον ἐκίνυτο. σιώθετο δ' ὕδωρ,
Ῥεῖα μάλ' ἐαπόμενον, μείλιχα νῶτα διδοῦν.
Τρίτωνες δὲ λιπόντες ἁλὸς χύσιν εὐθὺς ἐπ' οἶδμα
Ἤϊον Ἠριδανοῦ εὐκελάδοισι κόχλοις.
Ὠρχήσαντο δ' ἔπειτα χορήτιδες Ἠριδανῖναι,
Μολπαῖς, καὶ ταρσοῖς ταρφέ' ἀμειβομένοις
Ἀλλ' ἔτι δὴν ἐπέσυδον, ὅσαι μετὰ πρώονας ἄκρους
Οὐρέων, καὶ λιμνάων οἶκον ἔθεντο βάθη.
Ῥηνιάδες, Τρέβιαι, Βηνακίδες, Ὀργάδες, Ἀδραί,
Κλουσιάδες, Λάριαι, ταῖς ἔπι Λαμβριάδες.
Ἀλλάων τ' ἄλλος ὅμιλος ἀπείριτος. ἀμφὶ Θεῶν δὲ
Ταῖσιν ἐπορχεῖται ἑσμὸς ἐρημονόμων.
Αὐτὸς δ' αὖ συντέλεσκες ἐφύμνιον. ὡς ἄρα μοῦνον
Σοῖο φανέντος ἄφαρ πῆμα κακὸν κατέδυ.
Ὡς ποτε δῆμα σύνθη πολέμου. καὶ νήνεμον ἦλθον
Εἰρήνης μεγάλης ἀνέρες ἐς λιμένας.
Οὐδέτις ἀλλοτρίοις μεμαὼς ἐπιμαίνεται ἔργοις,
Αἴσυλον οὐδ' ἐπὶ βοῦς μόργος ἔθηξεν ἔρος,
Πάντα δὲ, πάντα γαλήνα. βοῆς δ' ἔτι οὐδ' ὄνομ' ἐστί.
Ἄμμι βράδιστος ἐλᾷς, ἀλλὰ ποθεινὸς ἄγαν.
Οὖλε τε, καὶ μέγα χαῖρε. Θεός νύ τοι ὄλβια δώη.
Σοὶ τόδ' ἀνερχομένῳ Θυμβρείας εἶπε πόλις.
Ἀλλ' ὅτε δὴ στείχειν ἐπεχείρεες ἡδὺ γελάσσας,
Αἰθὴρ ἐκρύφθη χρυσοχρόοις νεφέλαις.
Καὶ χρυσέαις νιφάδεσσιν ἐπέβρεχεν, ὄμβρον ἀλήτην
Εὐεργῆ, χρυσοῦν, Ζεὺς ἴσον ὗσε Ῥόδῳ.

Qualis apud Danaos, præmia ſumma refers.
In ſolioq; ſedens præ Regibus alta tuliſti
Sceptra, quibus terræ iura, mariq; dares.
Annuis, & mora eſt celeri iam prora natatu;
Subdebat placidos mobilis vnda ſinus.
Adſunt egreſſi pelago Tritones aperto,
Aequorea Eridani concha ſub amne ſonat.
Nymphæ dein fluuij lætas duxere choreas;
Voce cohors auras, & pede pulſat aquas.
Ibant quinetiam properæ, montana tenebant
Quæ loca, quæ liquidos incoluere lacus;
Rheniades, Trebiæ, Benacides, Orgades, Hadrę,
Cluſiades, Lariæ, Lambriadesq; ſimul;
Innumeræq; aliæ, quas circum immenſa Deorũ
Saltabat ſpecies, qui nemora alta colunt.
Vnus carmen eras cunctis, quì ſcilicet vno
Virus ab aſpectu fugerit omne tuo.
Quì timor exceſſit belli, tranquillaq; portum
Pacis habet longo gens labefacta malo.
Nec furit inuidia quiſquam, aut aliena fatigat;
In bona prædonem nec malus vrget amor.
Omnia tuta ſilent, pugnæ vel nomen abactum:
Serior, optatus ſed nimis, ipſe redis.
Lætare, atq; vale; tibi proſpera fũdat Olympus.
Roma reuertenti hoc magna precata tibi eſt.
Cum verò inciperes procedere dulcè renidens,
Aether ſe aurata condidit in nebula;
Aureus, & pluuijs deſcendere nubibus aurum
Iuſſit, quale Rhodi Iuppiter ante pluit.

Τῶσπερ νῶτον ἔκλυσε πέδου, ποταμοί τε ῥεέθροις
  Πλησθέντες δίζοντ' ἄλλα κέλευθα ῥόων.
Ωχθίσας ἀθρήσας ἀήθεος μεταμώλια δῶρα,
  Χρυσόν τ' ἀείῤῥουν, οὐ δεδαῶτα μένειν.
Τοῦ πέρι ἀφραίνησι κακαῖς τιτώμενον ἄταις
  Πᾶν γένος ἡμερίων. οὐδέποθ' εὗρε κόρον.
Τίπτε βροτοὶ μαίνεσθε; τίη τόσος οἶστρος ἐλαύνει
  Ὑμέας; χρυσὸς ὅδ' οὐκ ἔμπεδος, ἀλλὰ ῥέων.
Αὐτὰρ τόνδε δέχεσθε. καὶ ὑψόθι πῆχυν ἀνίστα,
  Χρυσὸν ἐπομβρήσας, τοῖς ἐθέλουσιν ἔχειν.
Πλοῦτον μὲν κατέχευε πολὺ πλέον, ἤέπερ αἰθὴρ,
  Καὶ μόνιμον, χρήσει τ' ἄρτιον, οἷσι πάρος.
Θαῦμα μέγ' αἰθέρι μὲν γαίηθεν ἐπέβρεχεν ὄμβρος
  Ὀμβρῷ λωτίασεν, καὶ ψεκάσι ψεκάδες.
Εἴκαθεν οὐρανίη χρυσοῦ χύσις. ἦρε δὲ νῖκος.
  Χερσαίη, προμάχου ἡμετέροιο κλέος.
Καὶ Πάδος ἐσκίρτησε, καὶ ἥλατο, αὐτίκα δ' ἔστη
  Ἥσυχα δουλωθεὶς ΒΑΡΒΕΡΙΝΗι παλάμῃ.
Εἰς γάλα ῥεῖθρον ἄμειψε μελίῤῥυτον. ἡδύτε νέκταρ
  Οὐ κόρον, οὐ λώβην μήσατο πιομένῳ.
Καὶ χλοεροῖς καλάμοις θελγώσατο ἀμφὶ περὶ
  Ὄχθας, καλλιβόων ἔνδι' ἀηδονίδων.
Δένδρεα δ' αὐτόπρεμνα παρὰ κρημνοῖο κιόντα
  Εὐθὺς ἐπεσσεύοντ' ἀμφοτέρωσε ῥόου.
Σφίγκτα δ' εὐπλέκτοισι γεφυρωθέντα κορύμβοις,
  Καὶ πυκινοῖς θάμνοις ἴδρει θῆκεν ἄκος.
Χθὼν ὅσσα φύλλ' ἀνέπεμψεν ἐν ἔαρι, ὅσσα κορύσσει
  Κύματα ἐν πελάγει φοιταλέος Βορέης,
Ψάμμος ὅσος ποταμοῖς, ἀμέτροις τ' ἐνὶ βένθεσι πόντου

Alueus oppletur, ripis ſublimior amnis,
Ambitione nouas quærit abire vias.
Iacturam Cæli doluiſti, & inutilis auri,
Irrita quà pretij dona fluentis erant.
Quod gen⁹ humanũ ſcelerata indagine quęrẽs,
Et furit, & miſeris æſtuat vſque malis.
Quod vos, mortales, œſtrũ? quę inſania torquet?
Hoc aurum, hæc ſpecies nõ manet, ecce fluit.
Vos hoc accipite, & ſuſtollite ad ęthera palmas,
Haud cupidis fuluæ ſe negat imber aquæ.
Aſt effudit opes meliores talibus Heros,
Quarum firma quies, aptior vſus erit.
Mirum eſt; è terra in Cælum pluit, obuius imbri
Eſt imber, guttis gutta refundit aquas.
Aethere ceſſatum tandem; victoria terræ
Contigit; hæc noſtri gloria tota Ducis.
Subſilijt pater Eridanus, ſubitòq; quieuit;
Indidit ANTONI fræna verenda manus.
In lac conuertit latices, & amabile nectar;
Non ſatias inde eſt, non mala potor habet,
Et viridi reſonas velauit arundine ripas,
Occinit Iſmarijs quà Philomela modis.
Ardua præcipites flexerunt bracchia trunci
Hinc, atq; inde, vagas quà tenet agger aquas.
Curuata in pontem ramis per mutua nexis
Aduerſus ſoles vmbra ferebat opem.
Quot frondes dat vere ſolũ, quot in ęquore flu-
Arctoę iactant noxia flabra plagæ. (ctus
Quot mittunt imbres nimbi, quot voluit arenas

 Flu-

Κινεῖται, ὄμβρων τ' ἠέριαι νιφάδες.
Φῦλα τόσα χθονίων, καὶ ἔθνεα μυρία γαίης
Ἔῤῥεον αὖ τελετὴν σοὶ τότε ῥεζομένην.
Παισυδίη δ' Ἄλπεων κορυφὰς, ῥωχμούς τε λιπόντες
Κένζωνες, Λίγυες, Ναντυάται, Βάραγροι.
Οἵ τ' Ἐβρέδουνον ἔχον, καὶ Ὤκελον, ἠδὲ Βειγαύτου
Γαῖαν, Ἐνυαλίου θ' ἱερὰ παρ Δυρίᾳ.
Οἵ τε Βέσουλιν ἔναιον ἀεὶ νιφόεντας ἐναύλους,
Ἔνθεν ἀναβλύζει ἄφθονα ῥεῖθρα Πάδου.
Οὐέρβιοι δ' ἐπὶ τοῖσιν, ὅσοι δυσχείμονα κόλπον
Λάριον οἰκοῦσιν, γείτονες ἠϊόνων.
Ὅς γ' εὔρῳ τε, νότῳ τε κορύσσεται οἴδματι θύων,
Ἃλς ἅτε, λιμνοπόροις κῆρα μέλαιναν ἄγων.
Πέργαμον οἵτ' ἐνέμοντο, πόλιν γ' ἀνέρων ταλαεργῶν,
Οἰκία Μουνδίλεω, καὶ Νεόκωμον ἔχον.
Ῥαιτῶν ἀγχιθύρων Κῶμον παλάμαισιν ἀάπτοις
Ἦθ' αὖ ἀπαὶ βάθρων κείμενον, αἰνὸν ἄχος,
Εἰ μή σ' Ἑλλήνων στρατὸς ᾤκισεν, ἠδὲ παλαιὸν,
Ἀλλὰ φίλην Κῶμον σῶσεν ἐπωνυμίην.
Ὄμβρῳ ἐπεῤῥώοντο πανείκελον ἔθνος Ἰσόμβρων,
Κτίστορ' ἀειζήλου Κεκροπίδος γενέης,
Οἵ τε Μογυντιακὸν, καὶ ἀῤῥήκτοισιν Ἀχέῤῥας
Τείχεσιν εὐερκεῖς πάτριον οἶκον ἔχον.
Αὐρεόλου τε γέφυραν ἐπὶ προχοῇσιν Ὑβέρτου.
Τοὺς δὲ μετ' Ἀναμάρων ἀθρόος ἷκεν ὄχλος.
Ἠδὲ Πλακεντίνων, ἄλλων τ' ἀπερείσια φῦλα,
Τοῖς μέχρι Παρμητῶν γῆς πρόχυσις τέταται.
Τὴν, ῥόον ἐκβάλλων, Σκαῦρος μακέλαισι λαχήνας
Τέρσετ', ὁ καὶ στρώσας ἀταρπὸν Αἰμιλίην.

Καὶ

Fluuiorum eluuies, & vada cæca maris.
Vndique tot gentes,totq; agmina læta fluebãt,
ANTONI feſtum concelebrare diem.
En ſummas Alpes,conualliaq; ima relinquunt
Centrones, Ligures, Nantuatæ, Baragri.
Quiq; habitant Ocelũ,Ebrodunũ,orãq; Brigãti.
Necnon ad Duriam Martia ſacra colunt.
Qui Beſulim (ſemper niuibus candentia ſaxa)
Vnde caput referunt flumina magna Padi.
Prȩterea Orobij, qui tempeſtatibus acti
Inſiſtunt Larij littora longa lacus.
Quàq; Eurusq; Notusq; atque vnda ſimillima
Pulſatæ intentant funera nigra rati. (põto
Bergameãq; terunt(gens fœta laboribus) Vrbẽ,
Mundilȩ & Comum,qui tenuere domum.
Comũ Rȩtorũ quondàm propè cuſpide verſũ;
Aequa propè (heu facinus) mȩnia facta ſolo;
Ni te ſeruaſſent Graij, ciuesq; dediſſent;
Fama ſub antiquo nomine grata manet.
Imbri erumpebat par denſo Inſubria tota
Aemula,quæ ſtatuit mœnia Cecropijs.
Quiq; Moguntiacum, qui tutas aggere Acerras
Pro patria, & laribus (nobile munus) habẽt.
It comes Anamarũ populus, põtemq; peragrat
Aureoli,atque vndas,amnis Vberte,tuas.
Inde Placentinæ gentes, atque agmine longo
Quȩcumque ad Parmam pinguia culta ſerũt.
Quà ſiccauit humum effoſſa legionibus vnda
Scaurus,& Aemilium marmore ſtrauit iter.

Καὶ δὴ μήν ποτ' ἔκηζας ἐς ἐγρεμόθους Κενομανοὺς
  Ἔνθ' ἀπὸ Βλωάκου ἐκ μέγα ῥεῦμα χέει
Μίγκιος Ἀρτελίκῃ γείτων, σκολιοῖσιν ὑφέρπων
  Ὕδασ', ὑπὸ χλωροῖς φυταλιαῖς καλάμων,
Μέσφ' ἀπολιμνάσας μέσσοις κατέκλεισεν ἀγοστοῖς,
  Νῆσον ὅπως, Μαντοῦς ἀμφιέλικτον ἕδος,
Πεδίῳ μὲν χαρίτεσσιν ὁμέστιον, ἀστέρι ἶσον,
  Ἀφνειῷ τ' ὄλβῳ κυδιόων βιότου,
Βιργιλίου δὲ γοναῖσι μακάρτατον, ἀλλὰ δαφοινῶν
  Γερμανῶν δηΐαις νῦν παλάμαισιν ἕλωρ.
Ἄστυ μέγ' ἐκέτ' ἐὸν μετ' ἐπῴκτιζας, ἐκ δ' ἐπετέλλου
  Εὔδαιμον τελέθειν, οἷα πέφυκε πάρος.
Οὖλέ τε, καὶ μέγα χαῖρε. Θεός νύ τοι ὄλβια δοίη
  Σοὶ τόδ' ἀνερχομένῳ Θυμβελὰς εἶπε πόλις.
Ἄλσος ἔην δένδρεσσι κατηρεφὲς, ἧχί περ ἱερὸν
  Τίετ' Ἀπόλλωνος ἐνναέταισι σέβας,
Ἀμβατὸν ἁγνέεσσιν, ἑκὰς γ' ἀθεμίστιοι ἄνδρες
  Ἠλάσκοντο, δίκης πᾶσι τάλαντα μέλεν.
Ὅττι δ' ἐκεῖ Φαέθων δίφρον πατρῷον ἱμάσσων
  Χερσὶν ἀπειρήτοις ἤριπεν ὠκύμορος,
Δένδρεσι χῶρον ἔκλυσαν. ἐπὶ χροῒ δ' εἵματα ἕσσαν
  Τερμιόεντ', ἐβένῳ ἴκελα πισσοχρόῳ.
Τῷκε Μελαγχλαίνοισιν ἐπώνυμον ὤπασαν ἦ μὲν,
  Νύκτερος οἷσι πέπλος δῶκεν ἐπωνυμίην.
Εἷς δ' αὖτις μετὰ τοῖσι γεραίτερος εἴδει μορφῆς,
  Ἰδμοσύνῃ τε λόγων, φρεσί τ' ἀρειότερος,
Τὸν περὶ Μοῦσα φίλησεν, ὕδος δ' ἐδίδαξεν Ἀπόλλων,
  Ἑρμείης σοφίην, Ζεὺς δ' ἐπέδωκε κλέος,
Ὡς ἴδε σ' ἐρχόμενον τόσσοις βρίθοντα θριάμβοις

Ῥίψεν

Cœnomanos iàq; ipſe tenes,decora ardua belli,
Benaci è viridi quà fluit amnis aqua,
Mincius, Artelicæ qui proximus, & pede flexo
Pergit arundineis pictus vbique ſatis;
Dũ faciũt vada magna lacũ media Inſula ſurgit,
Inſula Mantoæ gloria ſumma fugæ.
Vrbs olim Charitũ ſedes, & in vrbibus aſtrum,
Tàm felix opibus, quàm generoſa viris;
Virgilij cunis ſed maxima; Theuthonis at nunc
(Heu) iacet hoſtili penè ſepulta manu.
Vrbem, non Vrbem, miſerans,ſic eſſe iubebas
Felicem, ſeclis tot velùt ante fuit.
Lætare, atq; vale,tibi proſpera fũdat Olympus.
Roma reuertenti hoc magna precata tibi eſt.
Sylua erat arboribus denſis, vbi nobile Templũ
Phœbo olim, ſupplex incola thura dabat.
Peruia tecta probis; iuſſũ procul eſſe profanos;
Iuſtitiæ cunctis lanx erat æqua loco.
Pręcipiti Phaeton ruit aſt vbi funere, quando
Tractauit digito lora paterna rudi.
Arboribus cinxere locum, circaq; cadauer
Induerunt piceæ tegmina longa togæ.
Inde Melanchlænis cognomina ferre dederunt
Nimirum ab noctis nomina ſumpta toga.
Horum aliquis porrò,quo non pręſtantior alter
Aut forma,aut lingua, conſiliove fuit;
Pindi cura ingens, numeros cui donat Apollo,
Mercurius Sophiam, Iuppiter ipſe decus;
Vt te regredier tanto cum lumine vidit,

Ρίψεν ἄχος, ταρσοῖς τ' ἑαυτοῦ ἰζανέμοις.
Δέλτον, τήνγ' ἐσορᾷς, ὑποδέχνυσο, εἶπεν ἀναστάς.
Καὶ γὰρ ἔκειτ' ἱκέτης αἰκύλα γοῦνα πέδῳ.
Δέχνυσο. τῇ μακάρων κάρτος, καὶ μήδεα φωτῶν
Εἴσεαι. ὅσσα κύθεν, γαῖα, θάλασσα, πόλος.
Μορφάς θ', αἷς μετάμειψε βροτῶν δασπλῆτις ἀνάγκη
Σώματα, τρεφθείσας τ' ἄλλοτ' ἐπ' ἄλλο φύσεις.
Μέλλης μάντις ἄριστος ἔφη τάδε θέσφατα, Μέλλης
Ολλιάδης, Φοίβου μαντοσύνῃσι πρέπων.
Καὶ στήλαις τάδ' ἔγραψεν ἀληθέα, τόφρα πότ' ἄχθος
Τέρμ' ἔχειν τρεφθὲν πᾶσι πρὸς εὐφροσύνην.
Οττε νέος Φαέθων ποταμοπλανὸν ἅρμα διώκων
Γαίης προσβρέξει αἰθομέναισι δρόσον.
Καὶ στόμα συγκλείσαντες ἑὰς ἄπο βάλλον ἰωὰς
Κύκνοι. εἶτ' ἄγ' Αναξ νῶν ἄπο βάλλον ἄχη.
Η. σὺ δ' ἐμειδήσας. στυγνὸν μάλα τῆλε λιάσθη,
Θάμβος ἰδεῖν, πένθος. φῶς πεδίοισι χύθη.
Ασπαστὴ πέλε δέλτος, ἐπεὶ τόκος ἔπλετο Μουσῶν,
Τερπωλὴ Φοίβῳ, καὶ Χαρίτεσσι γάνος.
Οφρα δὲ Υμνοπόλοισιν ἐμοῖς καταθύμιος εἴοι,
Η θέμις ἐστί, σὺ πρὸς ταῦτα χάραττε βίβλοις.
Ως ποταμὸς, τὸν ἔπλειον, ἀλός τ' ὄχος, ᾧ τιν' ὀχοῦμαι,
Υμεῖς τ' ἀλλάξασθ' εἶδος, ὃ ἀμφιθέει.
Ω ἴτε. ἀλλάχθητε. πέπλον μέλαν ἄργυφον ἔστω,
Δάκρυ δ' ὕης γηθοῦς, χάρμα, γέλως τε γόος.
Αντὶ Μελαγχλαίνων κλήθητε Νιφείμονες, αἴῃ
Εὔχρηστοι, μολπαῖς φέρτατοι Υμνοπόλων.
Καὶ σὺ λάλοις στομάτεσσιν ἐσύστερον αἰὲν ἀείδοις
Οἵμην Κύκνου βίου, οὐ πρόφασιν θανάτου.

Ρεῖθρα

Ad te mutato protinus ore volat.
Et ſupplex, & humi curuato poplite primum,
Mox ſurgens. Librũ hunc tu cape, Victor, ait.
Tu cape; in hoc hominũ, cõſultaq; vimq; Deorũ
Noſces; quicquid humus, ſydera, põtus habẽt.
In noua mutatas certa vi corpora formas,
Inq; aliam, atque aliam, quæ cecidere vicem.
Melles Olliades tulit hæc oracula vates,
Vates ominibus clarus Apollineis.
Veraq; marmoribus ſcripſit, namq; adfore dixit
Tempus, quo luctum læta relinquat humus.
Cum melior Phaëton currum ſectatus in amne
Errantem, iactu roris adůſta riget;
Cumq; obmuteſcant occluſo gutture Cycni.
Ergo, Heros, lacrymas hinc dare terga iube.
Dixerat; at tu riſiſti (mirabile viſu)
It dolor in ventos, lumen in arua micat.
Atq; ais. Aonidũ hic partus, Phębiq; voluptas,
Lætitia & Charitum grata fuere mihi.
Vt liber at noſtris ſit gratior iſte Poëtis,
Has agedum primis vocibus adde notas.
Quod fluuius, qđ digna mari, qua cõuehor, alnus,
Quod vos mutari protinùs ore decet.
Ergo agite, in niueas tunicæ vertantur opacæ,
In riſum lacrymæ, in gaudia feſta dolor.
Pro mæſtis, proq; atratis ſis nomine læta
Gens, numeris pollens, vſibus apta virum.
Tu verò; tu Cycne, canes vitalia poſthàc
Carmina, nec poſthàc carmina mortis erunt.

Ῥεῖθρα τί ἢν ῥώεσθε ἐτώσια; πήξατε πέζαν.
  Ἔσκεν ἅλις καμάτων ὔμμιν ὁδοιπλανίης.
Εἶτ' ἐπίβηθι πόλονδε, συνέμποροι ὁλκὰς ἐσεῖται.
  Ἠχὶ φαίνητε βροτοῖς τείρεα ΒΑΡΒΕΡΙΝΑ.
Ἔργον ἔφυ τόγ' ἔτελλε. νέοις πόλος ἄστρασιν αἶθε.
  Καὶ δακέθυμον ἄχος φῶτες ἔρειψαν ἄπο.
Οὖλετε, καὶ μέγα χαῖρε. Θεὸς νύ τοι ὄλβια δοίη
  Σοὶ τόδ' ἀνερχομένῳ Θυμβρειὰς εἶπε πόλις.
Αὖθις γλῶ ἐπέβης κεχαρισμένος. αὖθις ἐπ' οὖδας
  Θεὶς πόδας ἐμπλήσας γλῶ ἀσανῶν χαρίτων.
Ἔνδ' ἄφενος μελέοις, ἐν δ' ἀφνεὸν ὤπασας ὄλβον
  Πεπταμένοις, μογεροῖς φωσφόροις αἰτιόων.
Αἶσις ἴδεν, Σάπις, εἶδ' Ἀνέμων, θηεῖτο Μεταύρου,
  Σκουλτάννου τε ῥόος, πουλὺ γέγηθεν Ἴδιξ.
Καὶ Βοΐων πτολίεθρα, καὶ ἄσπετα φῦλα Σενώνων,
  Ἤδη δὴ θοίνης, ἠδὲ τύχης μετέχον.
Αὐτή μοι Μυτίνη, Πάρμη τ' ἐπιμάρτυρες ἔστω,
  Αἰχμητάων ἀνδρῶν, τρισμακάρων τε δόμοι.
Λουκερία τε, Κλάτερνα, Μακροί τ' ἐπὶ ταῖσδεσι Κάμ-
  Πανδήμοις ἱεροῖς ὑψίφρονες κατ' ἔτος (ποι
Καὶ σὺ πόλις πάνδηλε μόρῳ πενθήμονι Βρούτου
  Ῥήγιον ἀρρήκτου ἄστυ τε Βριξιάλου.
Οὐδὲ μὲν, οὐδ' ὄλβων, εἰ καὶ μάλα τῆλε παρ' ἀκτὰς
  Ῥώου νοσφίσθης εὐρυάγυια πόλις.
Ἀλλ' ἔτι δὴ τότε μᾶλλον ἀπώνασο. καὶ γὰρ ἀϋτμὰς
  Ἔκφυγες Ἡφαίστου, τάς σοι ὑφῆπτ' ἀΐδης.
Οἴκηται δ' ἀνὰ βέρεθρα καὶ κρυμνώδεας Ἄλπεις
  Πηγάων Ἴδικος, καὶ Γαβέλοιο μέσα.
Ἔνθα δύωγε πελώρια πρὸς οὐρανὸν ἔρεα δοιώ

Ἀκρο-

Vndas ne incaſſum percurrite, ſiſtite greſſus,
Sat labor iſte, ſatis diſſecuiſtis aquas.
Tollite vos cœlo, ratis hæc comes euolet, indè
BARBERINA eritis ſydera fauſta ſolo.
Sic actum; micuitq; nouis ſplendoribus æther,
Exuit infandi ſenſa doloris humus.
Lætare, atq; vale tibi proſpera fundat Olympus.
Roma reuertẽti hoc magna precata tibi eſt.
Ecce autem ad ſolidos redijſti à flumine cãpos,
Rursùm eſt muneribus terra repleta tuis.
Pauperibus præſtantur opes; cultoribus agris
Ditia dona recens Lucifer ipſe refers.
Spectabãt Anemo, Sapis, Aeſis, & vnda Metauri,
Et Scultenna fluens, & benè potus Idex:
Vrbes Boiorum innumeræ, Senonumq; cateruæ
In partem tanti proſiliere boni.
Parma mihi teſtis, Mutinæq; celebria ſepta,
Ambo belligerum tecta beata virum.
Et Luceria, Claterna, & Macri inſuper agri,
Qui celebrant certis annua feſta ſacris.
Tu Lepidi Vrbs, flẽda quę cęde miſerrima Bruti;
Brixellum inuicta tu ſimul arce potens.
Nec tu expers es fortunæ, licet auia longè
Ad Rhenum latis Felſina pulchra vijs,
Quippe ſalus tibi multa fuit, Vulcania quando
Hinc vitare datum eſt noxia flabra tuis.
Quà gelidas Alpes inter diſcluditur orcus
Flammeus, & ſurgunt fonte Gabellus, Idex.
Quà gemini in cælum montes ceruice minati

Cul-

Ακρο̃τάτμοις κορυφᾶς, πυθμέσιν ἠερίοις.
Οὐδὲ γὰρ ἐςήρικτο πεπηγόσιν ἕδρα θεμέθλοις,
Ἀλλ' ὃν ἔχεν πρώλω, αὖθι μεθῆκε τόπον.
Ἀντία δ' ἀλλήλοισι διαμπερὲς ἀΐσσεσιν,
Καὶ θένουσ' ἀμοτὸν παύτοτε θεινόμενα.
Πληγῆς δ' ἦχος ἔβη νεάτης μετὰ πείρατα γαίης.
Γαῖα βροτῶν τρόμεον, κῆρ ἀλάλυκτο φόβῳ.
Φλὸξ δὲ πέτρης ἀνόρουσε, καὶ ἤλατο, εἶτα μάλ' αὖθις
Ἀμφιχυθεῖσα πέδον, καὶ πόλον εἰζανέβη.
Πάντα λυγρῶς κατέδαψε, καὶ ἐς μακρὰ κύματα πόντου
Ρίψεν, ὅπως αποδίω. οὐδὲν ἄσειςον ἔλω,
Λοίσθιον ἀμπνείουσι κακὸν μέγα. πᾶσα περὶ χθὼν
Νηλεὲς αἰθομένη μαψίδιον φθινύθει.
Αὐτὸς μὲν ποδὸς ἴχνος ἐπεςήριξας ἀρέρῃ.
Οὔρεε σειστὴν. δεῖμα δὲ φῶτας ἕλεν.
Καί σ' ἐπιδουνάσαντο βαλεῖν ἀπὸ κόμπον ἀνίης.
Γήθεες, ὅ δ' ἔρδειν σοὶ τόδε γῆθος ἔφυ.
Οὔρεσι ῥιζωθῆναι, ἰδ' ἐρρίζωθεν, ἐπίχειν
Ορμὰς, ἔςαν, ἔχειν ἀτρέμ', ἔτελλες, ἔχον.
Δαιομένε τε πυρὸς μαλερὴν κατέπαυσας ὁμοκλὴν,
Οὐδέ τι, εἰ πάρος ἦν, φῶτες ἴζασι, κλόνος.
Οὕτως καὶ Βοιοῖς ἀςὴρ εὐάγγελος ὤφθης,
Εσσομένε τε κακοῦ δεῖμα θοῶς σκεδάων.
Ἀλλ' οὐ δὴν ὑπέμεινε μόγων ἀκόρητος Αληκτὼ,
Καὶ Δαίμων, χθονίοις ὄλβια πάντα πέλειν.
Τῷ μάλα θυμήναζε παλίγκοτον ἔζεσεν ὀργὴν,
Νερτερίου τε πυρὸς λαμπάδας ἧψε χόλῳ.
Εἰ παρέων, προσέειπε, κακῶν ἀπὸ κόμπον ἐλαύνεις,
Ατεις συντρίψω ἔνθαπερ ἐκ ἀρ' ἔης.

Κινή-

Culmina celſa mouent, aëriosq; pedes:
Ollis nulla fuit firmo fundamine ſedes
Scilicèt, inq; vicem corripuere locum.
Impete ſe multo & quatiunt (ſic fama ferebat)
Pulſati & pulſant, nec datur vlla quies.
Pulſantum ſonus extremas penetrauit in oras;
Genua labant hominũ, corda timore rigent.
Exilijt ſaxis ignis, ſaltuq; refuſus
Rurſum in planitiem ad ſydera carpſit iter.
Omniaq; exhauſit, miſerandũ & in æquora lõgè
Proiecit cinerem: nil ſine labe fuit.
Exitium extremum quaſſis, crudeliter vſta
Igniuomo circum flamine terra iacet.
Ipſe quidem tellure pedem vix ponis, & vnà
Belligerant montes, pectora pulſa tremunt.
Inde preces tibi, quò gentem diſcrimine ſoluas;
Annuis extemplo; quippè iuuare iuuat.
Rupes iuſſiſti radicem figere, fixa eſt;
Pacari, ſteterunt; ſidere, facta quies.
Torrentisq; minas ſedaſti protinus ignis;
Talia num fuerint, nec memor vllus erat.
Quin aſtrum es viſus portendens optima Boijs,
Venturiq; metum diſſoluiſſe mali.
At non Alecto paſſa eſt ſcelerata, nec Orci
Arbiter, æternum gentibus eſſe bonum.
Feruere deteriùs ſubitis fornacibus ira
Cœpit, & inferno palluit igne ſolum,
Si tua proſcribit clades præſentia (dixit)
Quæ loca non teneas, omnia vaſta dabo.

Ne-

Κινήσω δ' ἀτίνακτα, μυχοῖο τ' ὀχῆας ἀράξω,
 Ἐξάψω τε φλογὸς πυρσὸν ἀμαιμάκετον.
Οὐκ ἴψω μόνον αἶαν. ἄχρις πυρόεντος Ὀλύμπου
 Πάμπαν ἀϊστώσω αἰθερίους θαλάμους.
Αὐτὸ τὸ δ' οἶδμα πέφυκε πυρὸς περὶ ἔμμεν ἐνιπῆς
 Ἐκβρασθὲν ποδίσω φλέγμασι τινθαλέοις.
Ἀπόσα Παρθενόπη πόσα τ' αἴολος εἰν ἁλὶ χῶρος
 Κλαύσει, ὅτε φλέξω Βέσβιον ἐκ θεμέθλων.
Ἔννεπεν, ὥς τε νόημα ταχεῖα προσήλλατο χώρῳ.
 Καὶ σὺ μέγ' ἔσπευδες ποσὶν ἐλαφροτέροις.
Ὤφρακεν ἀνάταισι πόρεις ἀλκήεια προφέρων.
 Καὶ νύκε τειρομένοις προσφιλὲς ἦλθες ἄκος.
Εἰ μὴ οὐδὸν ἔρυξε Πάξως θεοδέγμοσιν ὀμφαῖς,
 Βουλὰς τὰς δ' ἔμμεν ἀθανάτων προλέγων.
Βουλὰς ἡμερίοισιν ἀλιτρονόοισιν ἀφύκτους,
 Ταῖς δυσφορὰ χθονίων ἔργα καθηλιάσει.
Αἶψα δέ τ' ἠρεμησας, ἑκὼν δ' ἐπεπείθεο Πάξῳ.
 Θάμβος δ' οὐδὲν, ἐπεὶ ὡς Θεῷ αἰὲν ἕπου.
Οὖλέ τε, καὶ μέγα χαῖρε. Θεὸς νύ τοι ὄλβια δοίη.
 Σοὶ τὸ δ' ἐσερχομένῳ Θυμβρειὰς εἶπε πόλις.

Neſcia quaſſari quatiam, Barathriq, refringam
  Vincula; inextinctus feruor in arua furet.
Iræ nec ſat humus; ſtellata reuellere tendam
  Limina, & æthereas pręcipitare domos.
Innatum eſt latici calidas extinguere flammas;
  In cinerem flammis hunc tamen ire dabo.
Parthenope ò quantũ plorabit, & ęquoris vnda,
  Cum ruet ex imo noxa, Veſeue, tua.
Dixit, & ex oris animo fugit ocyor illis.
  Obuius at miſeris tu cupis ire malis.
Ingrederisq. viam volucri pede: nec tua forte
  Expers optatæ cura fuiſſet opis;
Ni vetuiſſet iter Patrui ſapientia magni,
  Illud conſilium Numinis eſſe monens.
Conſilium generi non eluctabile lapſo,
  Vt ſcelera è pœnis, Sol velut, atra micent.
Cõſiſtis ſubitò, Patruoq; haud ſegnis obaudis;
  Nec mirum, hic fuerat, ceù Deus, vſque tibi.
Lætare, atq; vale; tibi proſpera fũdat Olympus,
  Regreſſo hoc ipſi Roma precata fuit.

LEO-

LEONI ALLATIO V. C.

Gabriel Naudæus S. P. D.

QVæ de Alani Complanctu in vltimis quærebas, ſuperioribus ad te meis penitus exhauſi; adeoq; tuis petitionibus,& officio meo putabam feciſſe ſatis, vt niſi nouiſſima hæc,quam tuo Eridano comitem eſſe voluiſti, memoriam ſollicitaſſet exemplarium, quæ ad eius emendationem tibi promiſi, vix vnquam mihi iſtorum ampliùs veniſſet in mentem. Ago igitur in præſentiarum cum Gaffarello, vt priuſquam Giaggiolum cogitem, eius, quod in Diuorum Ioãnis,& Pauli Bibliotheca cuſtoditur elegantiſſimè deſcriptum, copiam ſibi fieri poſtulet,ſcripturus etiam poſtea Lutetiam ad Moræum, vt ſuum pariter cum San-Victoriano, & alijs, quæ proculdubio apud Nobiliſſimos Puteanos reperiri debent,omni diligentia,& ſtudio collatum ad nos tranſmittat. Viciſſimq; tuum illi Eridanum pollicear, quem Vir leporibus Atticis innutritus, doctusq; admirabilem Linguæ vtriuſque concentum efformare, velut linguæ Argolicæ rotunditate exundantem pleniſſimè mirabitur, ſat ſcio, & ſuſpiciet: quemadmodum certè iam iſthic faciunt Viri omnes eruditi, & inter illos præſertim, quicumque ad patrium, Latinumq; ſermonem eas, quæ petuntur à Græcis Veneres, & delicias feliciter adiunxere. Ego verò qui iſtorum ſententiæ multùm concedo maiorem in modum gaudeo, te vnum hac tempeſtate magnorum ingeniorum adeò vbere, & fœcunda repertum, qui facem reliquis præferret ad Græcæ poëſeos dignitatem euntibus, & carmina ſcriberes genio illo, qui in antiquorum verſibus elucet, non planè deſtituta. Vt propterea neque te, qui nihil,niſi excultum ingenio, & elaboratum induſtria facere conſueſti, nec Eminentiſſimo Principe, quem laudare vulgari ore piaculum eſſet, indignus videri poſſet tuus ille Eridanus, cui tam nitidum Interpretem contigiſſe, tam terſum, & elegantem,eſt inſuper,quod Tibi ſummopere gratuler. Vterq; veſtrum certè omnem mihi animum expleuit, etſi quamprimùm typis, vt demandetur efficias, cumulabis etiam vota, & deſiderium. Vale, Venetijs vj. Kal. Septembris CIↃ. IↃC. XXXIII.

AOI 1466965

Leo Allatius ... ſeptem Græciæ Urbibus ſe invicem in jus rap=
=tantibus, Magno pro homero, ~~contendentibus~~ contestata liti
ſuccumbentibus caeteris, dirimē
homerum Chio, quæ et ipſi
patria est, oculatior vendicavit,
ſibique homeri Civi oēs laudes
comes hinc. Testis in aedibus
Barberinis pag. 14[illegible]